**6** Schol. Soph. *El.* 96

ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενοι.

Hinc *Suda* s. vv. ἐξένισεν et ξένια καὶ ξενίζω.

**8** Schol. Ap. Rhod. 1. 824

πολλὰ δ' ἐυπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσσι
θεσσάμενοι γλυκερὸν νόστον ⏑ — ⏑ ⏑ —

**9** P. Oxy. 2356(a) (fragmenta versuum xviii); Plut. *quomodo aud. poet.* 6 p. 23b ὅταν δὲ τὸν ἄνδρα τῆς ἀδελφῆς ἠφανισμένον ἐν θαλάσσῃ καὶ μὴ τυχόντα νομίμου ταφῆς θρηνῶν λέγῃ μετριώτερον ἂν τὴν συμφορὰν ἐνεγκεῖν

εἰ κείνου κεφαλὴν καὶ χαρίεντα⌋ μέλεα [
Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν⌋ ἀμφεπον⌊ήθη,

τὸ πῦρ οὕτως, οὐ τὸν θεὸν προσηγόρευκε.

**11** Ib. 12 p. 33ab πάλιν ὁ Ἀρχίλοχος οὐκ ἐπαινεῖται λυπούμενος μὲν ἐπὶ τῷ ἀνδρὶ τῆς ἀδελφῆς διεφθαρμένῳ κατὰ θάλασσαν, οἴνῳ δὲ καὶ παιδιᾷ πρὸς τὴν λύπην μάχεσθαι διανοούμενος. αἰτίαν μέντοι λόγον ἔχουσαν εἴρηκεν·

οὔτέ τι γὰρ κλαίων ἰήσομαι, οὔτε κάκιον
θήσω τερπωλὰς καὶ θαλίας ἐφέπων.

Tzetz. *alleg. Hom.* Ω 130 sq.